# Epistula ad Liberium

## Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἀντίγραφον ὃ ἔγραψε Λιβερίῳ ἀρχιεπισκόπῳ Ῥώμης, ὅτι τέλειον ἄνθρωπον ἀνέλαβεν ὁ θεὸς Λόγος ὑπὲρ τῆς ἡμετέρας σωτηρίας.

Εἷς θεὸς ἀθάνατος, ἀόρατος, ἀψηλάφητος· «Πνεῦμα γὰρ ὁ θεός», οὗτος ἀχώρητος μὴ ἔχων τόπον, ὅπου οὐκ ἔστιν. ὁ τούτου Λόγος ἀθάνατος, σοφία ἄφθαρτος, ἀόρατος, τούτου καλεῖται υἱὸς πρωτότοκος, συνεργός, ἄναρχος, ἀψηλάφητος, «μήτε ἀρχὴν ἡμερῶν ἔχων μήτε τέλος ζωῆς» προσδοκῶν. «διὰ τούτου ἐγένετο τὰ πάντα καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν». οὗτος ὁ πλάσας τὸν ἄνθρωπον· οὗτος ὁ τὴν κιβωτὸν δείξας, πῶς ἵνα γένηται· οὗτος ὁ τὴν ἐπαγγελίαν δοὺς τῷ Ἀβραάμ· οὗτος ὁ καταβὰς ἐπὶ τῷ σῶσαι τὸν λαόν, ὁ Μωσεῖ τὸν νόμον δούς· οὗτος «ὁ θεὸς Ἀβραὰμ καὶ θεὸς Ἰσαὰκ καὶ θεὸς Ἰακώβ», «ὁ ἐν τοῖς προφήταις λαλήσας», ὁ διαθέμενος τὴν παλαιὰν καὶ τὴν καινὴν διαθήκην· ὁ «ἐπὶ ἐσχάτου τῶν ἡμερῶν» σάρκα ἐκ παρθένου λαβὼν θνητὴν οὐκ αὐτὸς ὢν θνητός, ἀσθενῆ οὐκ αὐτὸς ἀσθενής, ὀφειλομένην θανάτῳ οὐκ αὐτὸς ὀφειλόμενος, ὁρατὴν οὐκ αὐτὸς ὁρατός· αὕτη ἐκρεμάσθη οὐκ αὐτός, αὕτη ἐτάφη οὐκ αὐτός, αὕτη πάντα τὰ ἀνθρώπινα πάθη ὡς ἄνθρωπος ὑπέμεινεν οὐκ αὐτός· ἐκεῖνος δὲ δύναμις θεοῦ, τουτέστι θεός. ὁ τὰ ἄλυτα τοῦ ᾅδου λύσας καὶ τὸ κράτος τοῦ διαβόλου καταργήσας ἀνέβη ὅθεν καὶ κατέβη· ἐγείρας ἐκεῖνο τὸ ταφὲν προσήνεγκε τῷ πατρί, ἐλευθερώσας, οὗ ἐκράτει, τοῦ θανάτου. ἐν τούτῳ τὸν πατέρα νοοῦμεν–ἓν γὰρ καὶ ταὐτὸ τῇ θεότητι, τῇ δυνάμει, τῇ οὐσίᾳ, τῇ ὑποστάσει, τῇ δόξῃ, τῷ ὀνόματι τοῦ θεοῦ–καὶ αὐτὸν τὸν υἱὸν ἐν τῷ πατρί. οὗτος ὁ μετὰ τὸ λαβεῖν τὴν σάρκα Ἰησοῦς κληθείς, καθότι καὶ ἄνθρωπος, τουτέστιν ἀνέλαβεν ἄνθρωπον ἐν ἑαυτῷ, «ἐν ᾧ πᾶν τὸ πλήρωμα τῆς θεότητος οἰκεῖ σωματικῶς». τοῦτον ἔχομεν οὐ διακεχωρισμένον ἀπὸ τοῦ πατρὸς ἢ τοῦ ἁγίου πνεύματος οὐδὲ τὸν πατέρα λέγοντες καταβεβηκέναι καὶ ἐν ἀνθρώπῳ γενέσθαι. οὕτως εἷς θεὸς παντοκράτωρ παρ' ἡμῖν πιστεύεται. καὶ διὰ τοῦτο ἡ πίστις ἡμῶν ἐστὶν εἰς ἕνα θεόν, πατέρα παντοκράτορα, καὶ εἰς τὸν υἱὸν αὐτοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰς τὸ ἅγιον πνεῦμα· ταῦτα δὲ ἐξ ἑνότητος μιᾶς θεότητος, μιᾶς δυνάμεως, μιᾶς ὑποστάσεως, μιᾶς οὐσίας, μιᾶς δοξολογίας, μιᾶς κυριότητος, μιᾶς βασιλείας, μιᾶς εἰκόνος τῆς τριάδος ὁμοούσιον, «δι' οὗ τὰ πάντα ἐγένετο». οὕτως καὶ σαρκὸς ἀνάστασιν πιστεύομεν τουτέστιν «τοῦ σώματος ἡμῶν» κατὰ τὰς ἁγίας γραφάς, τοῦ φθαρτοῦ καὶ θνητοῦ αὐτοῦ μεταβαλλομένου εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ὑπὸ τοῦ θεοῦ. ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.